UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Antonini Liberalis Transformationum congeries

**Antoninus <Liberalis>**

**Basileae, 1568**

**VD16 A 2960**

Μάρκου Ἀντωνίνου αὐτοϱάτοϱ[ος], των εἰς ἑαυτόν Βίβλίον θ.

urn:nbn:de:hbz:466:1-70288

Visual Library

# ΜΑΡΚΟΥ ἈΝΤΩΝΙΝΟΥ αὐτοκράτορος, τῶν εἰς ἑαυτὸν βιβλίον θ'.

Ὁ ἀδικῶν, ἀσεβεῖ. τῆς γὰρ τῶν ὅλων φύσεως κατεσκευακυίας τὰ λογικὰ ζῶα ἕνεκεν ἀλλήλων, ὥστε ὠφελεῖν μὲν ἄλληλα κατ' ἀξίαν, βλάπτειν δὲ μηδαμῶς, ὁ τὸ βούλημα ταύτης παραβαίνων, ἀσεβεῖ δηλονότι εἰς τὴν πρεσβυτάτην τῶν θεῶν. ἡ γὰρ τῶν ὅλων φύσις, ὄντων ἐστὶ φύσις. τὰ δέ γε ὄντα πρὸς τὰ ὑπάρχοντα πάντα οἰκείως ἔχει. ἔτι δὲ καὶ ἀλήθεια αὕτη ὀνομάζεται καὶ τῶν ἀληθῶν ἁπάντων πρώτη αἰτία ἐστίν. ὁ μὲν οὖν ἑκὼν ψευδόμενος ἀσεβεῖ, καθόσον ἐξαπατῶν ἀδικεῖ· ὁ δὲ ἄκων, καθόσον διαφωνεῖ τῇ τῶν ὅλων φύσει, καὶ καθόσον ἀκοσμεῖ, μαχόμενος τῇ τοῦ κόσμου φύσει. μάχεται γὰρ ὁ ἐπὶ τἀναντία τοῖς ἀληθέσι φερόμενος παρ' ἑαυτόν. ἀφορμὰς γὰρ προειλήφει παρὰ τῆς φύσεως, ὧν ἀμελήσας οὐχ οἷός τέ ἐστι νῦν διακρίνειν τὰ ψευδῆ ἀπὸ τῶν ἀληθῶν. Καὶ μὴν ὁ τὰς ἡδονὰς ὡς ἀγαθὰς διώκων, τοὺς δὲ πόνους ὡς κακὰ φεύγων, ἀσεβεῖ. ἀνάγκη γὰρ τὸν τοιοῦτον, μέμφεσθαι πολ-

πολλάκις τῇ κοινῇ φύσει, ὡς παρ' ἀξίαν τι ἀ-
πονεμούσῃ τοῖς φαύλοις καὶ τοῖς σπουδαίοις.
διὰ τὸ πολλάκις τοὺς μὲν φαύλους ἐν ἡδοναῖς
εἶναι, καὶ τὰ ποιητικὰ τούτων κτᾶσθαι·
τοὺς δὲ σπουδαίους, πόνῳ, καὶ τοῖς ποιητικοῖς
τούτου περιπίπτειν. ἔτι δὲ ὁ φοβούμενος τοὺς πό-
νους, φοβηθήσεταί ποτε τῶν ἐσομένων τι ἐν τῷ
κόσμῳ. τοῦτο δὲ ἤδη ἀσεβές. ὅτε διώκων τὰς ἡ-
δονὰς, οὐκ ἀφέξεται τοῦ ἀδικεῖν. τοῦτο δὲ ἐναρ-
γῶς ἀσεβές. χρὴ δὲ πρὸς ἃ ἡ κοινὴ φύσις ἐπίσης
ἔχει (οὐ γὰρ ἀμφότερα ἐποίει, εἰ μὴ πρὸς ἀμφό-
τερα ἐπίσης εἶχε) πρὸς ταῦτα καὶ τοὺς τῇ φύσει
βουλομένους ἕπεσθαι, ὁμογνώμονας ὄντας ἐ-
πίσης διακεῖσθαι. ὅστις οὖν πρὸς πόνους καὶ ἡδο-
νὰς, ἢ θάνατον καὶ ζωὴν, ἢ δόξαν καὶ ἀδοξίαν, οἷς
ἐπίσης ἡ τῶν ὅλων φύσις χρῆται, αὐτὸς οὐκ
ἐπίσης ἔχει, δῆλον ὡς ἀσεβεῖ. λέγω δὲ τὸ χρῆ-
σθαι τούτοις ἐπίσης τὴν κοινὴν φύσιν, ἀντὶ τοῦ
κατὰ τὸ συμβαίνειν ἐπίσης κατὰ τὸ ἑξῆς γινο-
μένοις, καὶ ἐπιγινομένοις ὁρμῇ τινι ἀρχαίᾳ τῆς
προνοίας καθ' ἣν ἀπό τινος ἀρχῆς ὥρμησεν
ἐπὶ τήνδε τὴν διακόσμησιν, συλλαβοῦσα τινὰς
λόγους τῶν ἐσομένων, καὶ δυνάμεις γονίμους ἀ-
φορίσασα, ὑποστάσεών τε, καὶ μεταβολῶν καὶ
διαδοχῶν τοιούτων. Χαριεστέρου μὲν ἦν ἀν-
δρὸς ἄγευστον ψευδολογίας, καὶ πάσης ὑπο-

κρίσεως καὶ τρυφῆς καὶ τύφου γενόμενον, ἐξ ἀνθρώπων ἀπελθεῖν. τὸ δ᾽ οὖν κορεσθέντα γε τούτων ἀποπνεῦσαι, δεύτερος πλοῦς. ἢ προῄρησαι προσκαθῆσθαι τῇ κακίᾳ· καὶ οὔπω σε οὐδὲ ἡ πεῖρα πείθει φεύγειν ἐκ τοῦ λοιμοῦ. λοιμὸς γὰρ διαφθορὰ διανοίας πολλῷ γε μᾶλλον ἤπερ ἡ τοῦ περικεχυμένου τούτου πνεύματος τοιάδε τις δυσκρασία καὶ τροπή. αὕτη μὲν γὰρ ζώων λοιμὸς καθὸ ζῶα. ἐστὶν ἐκείνη δὲ ἀνθρώπων καθὸ ἄνθρωποί εἰσιν. Μὴ καταφρόνει θανάτου, ἀλλὰ εὐαρέστει αὐτῷ, ὡς καὶ τούτου ἑνὸς ὄντος, ὧν ἡ φύσις ἐθέλει. οἷον γάρ ἐστι τὸ νεάσαι, καὶ τὸ γηράσαι καὶ τὸ αὐξῆσαι, καὶ τὸ ἀκμάσαι, καὶ ὀδόντας, καὶ γένειον, καὶ πολιὰς ἐνεγκεῖν, καὶ σπεῖραι, καὶ κυοφορῆσαι, καὶ ἀποκυῆσαι, καὶ τὰ ἄλλα τὰ φυσικὰ ἐνεργήματα, ὅσα αἱ τοῦ σοῦ βίου ὧραι φέρουσιν, τοιοῦτο καὶ τὸ διαλυθῆναι. τοῦτο μὲν οὖν κατὰ ἄνθρωπόν ἐστι λελογισμένον, μὴ ὁλοσχερῶς, μηδὲ ὠστικῶς, μηδὲ ὑπερηφάνως πρὸς τὸν θάνατον ἔχειν· ἀλλὰ περιμένειν ὡς μίαν τῶν φυσικῶν ἐνεργειῶν. ὡς νῦν περιμένεις, πότε ἔμβρυον ἐκ τῆς γαστρὸς τῆς γυναικός σου ἐξέλθῃ, οὕτως ἐκδέχεσθαι τὴν ὥραν ἐν ᾗ τὸ ψυχάριον σου τοῦ ἐλύτρου τούτου ἐκπεσεῖται. εἰ δὲ καὶ ἰδιωτικὸν παράπηγμα ἀψικάρδιον θέλεις, μάλιστά σε εὔκολον πρὸς τὸν θάνατον ποιήσει, ἡ ἐπίστασις ἡ ἐπὶ τὰ ὑπο-

κείμενα,

κείμενα, ὧν μέλλεις ἀφίστασθαι. καὶ μεθ' οἵων ἠθῶν οὐκ ἔτι ἔσται ἡ ἐμπεφυρμένη. προσκόπτεσθαι μὲν γὰρ αὐτοῖς ἥκιστα δεῖ, ἀλλὰ καὶ κήδεσθαι, καὶ πρᾴως φέρειν. μεμνῆσθαι μέντοι ὅτι οὐκ ἀπ' ἀνθρώπων ὁμοδογματούντων σοι ἡ ἀπαλλαγὴ ἔσται. τοῦτο γὰρ μόνον εἴπερ ἄρα ἀνθεῖλκεν ἂν καὶ κατεῖχεν ἐν τῷ ζῆν, εἰ συζῆν ἐφεῖτο τοῖς τὰ αὐτὰ δόγματα περιπεποιημένοις. νῦν δ' ὁρᾷς ὅσος ὁ κόπος ἐν τῇ διαφωνίᾳ τῆς συμβιώσεως, ὥστε εἰπεῖν, θᾶττον ἔλθοις ὦ θάνατε μή πού καὶ αὐτὸς ἐπιλάθωμαι ἐμαυτοῦ.

Ὁ ἁμαρτάνων ἑαυτῷ ἁμαρτάνει. ὁ ἀδικῶν ἑαυτὸν κακοῖ, κακὸν ἑαυτὸν ποιῶν. ἀδικεῖ πολλάκις ὁ μὴ ποιῶν τι, οὐ μόνον ὁ ποιῶν τι. ἀρκεῖ ἡ παροῦσα ὑπόληψις καταληπτική, καὶ ἡ παροῦσα πρᾶξις κοινωνική· καὶ ἡ παροῦσα διάθεσις εὐαρεστικὴ πρὸς πᾶν τὸ παρὰ τὸ ἐκ τῆς αἰτίας συμβαῖνον, ἐξαλεῖψαι φαντασίαν, στῆσαι, ὁρμήν, σβέσαι ὄρεξιν, ἐφ' ἑαυτῷ ἔχειν τὸ ἡγεμονικόν, εἰς μὲν τὰ ἄλογα ζῷα, μία ψυχὴ διῄρηται. εἰς δὲ τὰ λογικὰ μία νοερὰ ψυχὴ μεμέρισται. ὥσπερ καὶ μία γῆ ἐστὶν ἁπάντων τῶν γεωδῶν, καὶ ἑνὶ φωτὶ ὁρῶμεν. καὶ ἕνα ἀέρα ἀναπνέομεν, ὅσα ὁρατικὰ καὶ ἔμψυχα πάντα. Ὅσα κοινοῦ τινος μετέχει, πρὸς τὸ ὁμογενὲς σπεύδει. Τὸ γεῶδες πᾶν

ῥέπει ἐπὶ γῆν, τὸ ὑγρὸν πᾶν, σύρρουν, τὸ ἀερῶδες ὁμοίως, ὥστε χρῄζειν τῶν διειργόντων καὶ βίας. Τὸ πῦρ ἀνωφερὲς μὲν, διὰ τὸ στοιχειῶδες πῦρ. παντὶ δὲ πυρὶ ἐνταῦθα πρὸς τὸ συνεξάπτεσθαι ἕτοιμον. οὕτως, ὥστε καὶ πᾶν τὸ ὑλικὸν τὸ ὀλίγῳ ξηρότερον, εὐέξαπτον εἶναι, διὰ τὸ ἔλαττον ἐγκεκρᾶσθαι αὐτῷ τὸ κωλυτικὸν πρὸς ἔξαψιν. καὶ τοίνυν πᾶν τὸ κοινῆς νοερᾶς φύσεως μέτοχον, πρὸς τὸ συγγενὲς ὁμοίως σπεύδει, ἢ καὶ μᾶλλον. ὅσῳ γάρ ἐστι κρεῖττον παρὰ τὰ ἄλλα, τοσούτῳ καὶ πρὸς τὸ συγκιρνᾶσθαι τῷ οἰκείῳ καὶ συγχεῖσθαι ἑτοιμότερον. εὐθὺς γοῦν ἐπὶ μὲν τῶν ἀλόγων εὑρέθη σμήνη, καὶ ἀγέλαι, καὶ νεοσσοτροφίαι, καὶ οἷον ἔρωτες. ψυχαὶ γὰρ ἤδη ἦσαν ἐνταῦθα, καὶ τὸ συναγωγὸν ἐν τῷ κρείττονι ἐπιτεινόμενον εὑρίσκετο, οἷον οὔτε ἐπὶ φυτῶν ἦν, οὔτε ἐπὶ λίθων, ἢ ξύλων. ἐπὶ δὲ τῶν λογικῶν ζώων, πολιτεῖαι, καὶ φιλίαι, καὶ οἶκοι, καὶ σύλλογοι, καὶ ἐν πολέμοις συνθῆκαι καὶ ἀνοχαί. ἐπὶ δὲ τῶν ἔτι κρειττόνων, καὶ διεστηκότων τρόπον τινὰ ἕνωσις ὑπέστη, οἵα ἐπὶ τῶν ἄστρων. οὕτως ἡ ἐπὶ τὸ κρεῖττον ἐπανάβασις συμπάθειαν καὶ ἐν διεστῶσιν ἐργάσασθαι ἐδύνατο. Ὅρα οὖν τὸ νῦν γινόμενον. μόνα γὰρ τὰ νοερὰ νῦν ἐπιλέλησται τῆς πρὸς ἄλληλα σπουδῆς καὶ

ξυννεύσεως, καὶ τὸ σύῤῥουν ὧδε μόνον οὐ βλέπεται. ἀλλ' ὅμως καίτοι φεύγοντες περικαταλαμβάνονται. κρατεῖ γὰρ ἡ φύσις. ὄψει δὲ ὃ λέγω παραφυλάσσων. θᾶσσον γοῦν εὕροι τις ἂν γεῶδές τι μηδενὸς γεώδους προσαπτόμενον, ἤπερ ἄνθρωπον ἀνθρώπου ἀπεσχισμένον. Φέρει καρπὸν καὶ ἄνθρωπος καὶ θεὸς, καὶ ὁ κόσμος, ἐν ταῖς οἰκείαις ὥραις ἕκαστα φέρει. εἰ δὲ ἡ συνήθεια κυρίως τέτροφεν ἐπὶ ἀμπέλου καὶ τῶν ὁμοίων οὐδὲν τοῦτο. ὁ λόγος δὲ καὶ κοινὸν καὶ ἴδιον καρπὸν ἔχει, καὶ γίνεται ἐξ αὐτοῦ τοιαῦθ' ἕτερα, ὁποῖόν τι αὐτός ἐστιν ὁ λόγος. Εἰ μὲν δύνασαι μεταδίδασκε· εἰ δὲ μὴ, μέμνησο ὅτι πρὸς τοῦτο ἡ εὐμένειά σοι δέδοται. καὶ οἱ θεοὶ δὲ εὐμενεῖς τοῖς τοιούτοις εἰσὶν, εἰς ἔνια δὲ καὶ συνεργοῦσιν, εἰς ὑγίειαν, εἰς πλοῦτον, εἰς δόξαν. οὕτως εἰσὶ χρηστοί. ἔξεστι δὲ καὶ σοι· ἢ εἰπὲ, τίς ὁ κωλύων; πόνει μὴ ὡς ἄθλιος, μηδὲ ὡς ἐλεεῖσθαι ἢ θαυμάζεσθαι θέλων. ἀλλὰ μόνον ἓν θέλε, κινεῖσθαι καὶ ἴσχεσθαι, ὡς ὁ πολιτικὸς λόγος ἀξιοῖ. σήμερον ἐξῆλθον πάσης περιστάσεως, μᾶλλον δὲ ἐξέβαλον πᾶσαν περίστασιν. ἔξω γὰρ οὐκ ἦν, ἀλλὰ ἔνδον ἐν ταῖς ὑπολήψεσι. πάντα ταῦτα συνήθη μὲν τῇ πείρᾳ, ἐφήμερα δὲ τῷ χρόνῳ, ῥυπαρὰ δὲ τῇ ὕλῃ· πάντα νῦν οἷα ἐπ' ἐκείνων, οὓς κατεθάψαμεν. τὰ πράγματα ἔξω θυ-

ρῶν

ρων ἕστηκεν, αὐτὰ ἐφ' ἑαυτῶν μηδὲν μήτε εἰδότα περὶ αὐτῶν, μήτε ἀποφαινόμενα. τί οὖν ἀποφαίνεται περὶ αὐτῶν; τὸ ἡγεμονικόν, οὐκ ἐν πείσει, ἀλλ' ἐνεργείᾳ τὸ τοῦ λογικοῦ πολιτικοῦ ζώου κακὸν καὶ ἀγαθόν. ὥσπερ οὐδὲ ἡ ἀρετὴ καὶ κακία αὐτοῦ ἐν πείσει, ἀλλὰ ἐνεργείᾳ. τῷ ἀναρριφέντι λίθῳ οὐδὲν κακὸν τὸ κατενεχθῆναι· οὐδὲ ἀγαθὸν τὸ ἀνενεχθῆναι.

Δίελθε ἔσω εἰς τὰ ἡγεμονικὰ αὐτῶν, καὶ ὄψει τίνας κριτὰς φοβῇ, οἵους καὶ περὶ αὐτῶν ὄντας κριτάς. πάντα ἐν μεταβολῇ. καὶ αὐτὸς σὺ ἐν διηνεκεῖ ἀλλοιώσει, καὶ κατά τι φθορᾷ. καὶ ὁ κόσμος δὲ ὅλος, τὸ ἄλλου ἁμάρτημα. ἐκεῖ δεῖ καταλιπεῖν. ἐνεργείας ἀπόληξις, ὁρμῆς, ὑπολήψεως παῦλα, καὶ οἷον θάνατος, οὐδὲν κακόν. μέτιθι νῦν ἐπὶ ἡλικίας, οἷον τὴν παιδικήν, τὴν τοῦ μειρακίου, τὴν νεότητα, τὸ γῆρας. καὶ γὰρ τούτων πᾶσα μεταβολὴ θάνατος, μήτι δεινόν; μέτιθι νῦν ἐπὶ βίον τὸν ὑπὸ τῷ πάππῳ, εἶτα τὸν ὑπὸ τῇ μητρί, εἶτα τὸν ὑπὸ τῷ πατρί. καὶ ἄλλας δὲ πολλὰς διαφορὰς καὶ μεταβολὰς καὶ ἀπολήξεις εὑρίσκων, ἐπερώτα σεαυτόν μήτι δεινόν. οὕτως τοίνυν οὐδὲ ἡ τοῦ ὅλου σου βίου λῆξις, καὶ παῦλα, καὶ μεταβολή. τρέχε ἐπὶ τὸ σεαυτοῦ ἡγεμονικόν, καὶ τὸ τοῦ ὅλου, καὶ τὸ τούτου. τὸ μὲν σεαυτοῦ, ἵνα νοῦς

δικαι-

δικαϊκὸν αὐτὸ ποιήσῃς. ἐπὶ δὲ τοῦ ὅλου, ἵνα συμμνημονεύσῃς τίνος μέρος εἶ. τὸ δὲ τούτου, ἵνα ἐπιστήσῃς πότερον ἄγνοια, ἢ γνώμη. καὶ ἅμα λογίσῃ ὅτι συγγενής. ὥσπερ αὐτὸς σὺ πολιτικοῦ συστήματος συμπληρωτικὸς εἶ, οὕτως καὶ πᾶσα πρᾶξίς σου συμπληρωτικὴ ἔστω ζωῆς πολιτικῆς. ἥτις ἐὰν οὖν πρᾶξίς σου μὴ ἔχῃ τὴν ἀναφορὰν, εἴτε προσεχῶς, εἴτε πόρρωθεν ἐπὶ τὸ κοινωνικὸν τέλος, αὕτη διασπᾷ τὸν βίον, καὶ οὐκ ἐᾷ μίαν εἶναι. καὶ στασιώδης ἐστὶν, ὥσπερ ἐν δήμῳ ὁ τὸ καθ' αὑτὸν μέρος διϊστάμενος. ἀπὸ τῆς τοιαύτης συμφωνίας παιδίων ὀργαὶ, καὶ παίγνια, καὶ πνευμάτια, νεκροὺς βαστάζοντα, ὥστε ἐναργέστερον προσπεσεῖν τὸ τῆς νεκυίας, ἴθι ἐπὶ τὴν ποιότητα τοῦ αἰτίου. καὶ ἀπὸ τοῦ ὑλικοῦ αὐτὸ περιγράψας θέασαι, εἶτα καὶ τὸν χρόνον περιόρισον, ὅσον πλεῖστον ὑφίστασθαι πέφυκε τοῦτο τὸ ἰδίως ποιόν, ἀνέτλης μυρία, διὰ τὸ μὴ ἀρκεῖσθαι τῷ σῷ ἡγεμονικῷ. ποιοῦντι ταῦτα οἷα κατεσκεύασται. ἀλλὰ ἅλις.

Ὅταν ἄλλος ψέγῃ σε, ἢ μισῇ, ἢ τοιαῦτά τινα ἐκφωνῶσιν, ἔρχου ἐπὶ τὰ ψυχάρια αὐτῶν, δίελθε ἔσω, καὶ ἴδε ποῖοί τινες εἰσίν. ὄψει, ὅτι οὐ δεῖ σε σπᾶσθαι, ἵνα τούτοις τί ποτε περὶ σοῦ δοκῇ. εὐνοεῖν μέντοι αὐτοῖς δεῖ. φύσει γὰρ φίλοι. καὶ οἱ θεοὶ

δὲ παν-

δὲ παντοίως αὐτοῖς βοηθοῦσι, δι' ὀνείρων, διὰ μαντειῶν. πρὸς ταῦτα μέντοι πρὸς ἃ ἐκεῖνοι διαφέρονται, ταῦτα ἐστὶ τὰ τοῦ κόσμου ἐγκύκλια, ἄνω κάτω, ἐξ αἰῶνος εἰς αἰῶνα. καὶ ἤτοι ἐφ' ἕκαστον ὁρμᾷ ἡ τοῦ ὅλου διάνοια, ὅπερ εἰ ἔστιν, ἀποδέχου τὸ ἐκείνης ὁρμητὸν, ἢ ἅπαξ ὥρμησε. τὰ δὲ λοιπὰ, κατ' ἐπακολούθησιν. καὶ τί ἐν τίνι. τρόπον γάρ τινα ἄτομοι, ἢ ἀμερῆ. τὸ δὲ ὅλον, εἴ τις θεὸς εὖ ἔχει πάντα. εἴτε τὸ εἰκῆ, μὴ καὶ σὺ εἰκῆ. ἤδη πάντας ἡμᾶς γῆ καλύψει. ἔπειτα καὶ αὐτὴ μεταβαλεῖ. κἀκεῖνα εἰς ἄπειρους μεταβαλεῖ· καὶ πάλιν ἐκεῖνα εἰς ἄπειρον· τὰς γὰρ ἐπικυματώσεις τῶν μεταβολῶν καὶ ἀλλοιώσεων ἐνθυμούμενός τις, καὶ τὸ τάχος, παντὸς θνητοῦ καταφρονήσει. χειμάῤῥους ἡ τῶν ὅλων αἰτία, πάντα φέρει. ὡς εὐτελῆ δὲ καὶ τὰ πολιτικὰ ταῦτα, καὶ ὡς οἴεται φιλοσόφως πρακτικὰ ἀνθρώπια μυξῶν μεστά. ἄνθρωπε, τί ποτε ποίησον, ὃ νῦν ἡ φύσις ἀπαιτεῖ· ὅρμησον ἐὰν διδῶται. καὶ μὴ περιβλέπου εἴ τις εἴσεται· μηδὲ τὴν Πλάτωνος πολιτείαν ἔλπιζε, ἀλλὰ ἀρκοῦ, εἰ τὸ βραχύτατον πρόεισι. καὶ τούτου αὐτοῦ τὴν ἔκβασιν, ὡς οὐ μικρόν τι ἐστὶ διανοοῦ. δόγμα γὰρ αὐτῶν τίς μεταβαλεῖ; χωρὶς δὲ δογμάτων μεταβολῆς, τί ἄλλο, ἢ δουλεία στενόντων, καὶ πείθεσθαι προσποιουμένων.

μένων. Ὕπαγε νῦν καὶ Ἀλέξανδρον, καὶ Φίλιππον, καὶ Δημήτριον τὸν Φαληρέα μοι λέγε. ὄψονται εἰ εἶδον τί ἡ κοινὴ φύσις ἤθελε, καὶ ἑαυτοὺς ἐπαιδαγώγησαν· εἰ δὲ ἐτραγῴδησαν, οὐδείς με κατακέκρικε μιμεῖσθαι. ἁπλοῦν ἐστὶ καὶ αἰδῆμον τὸ φιλοσοφίας ἔργον. μή με ἄπαγε ἐπὶ σεμνοτυφίαν ἄνωθεν ἐπιθεωρεῖν ἀγέλας μυρίας, καὶ τελετὰς μυρίας καὶ πλοῦν παντοῖον, ἐν χειμῶσι καὶ γαλήναις, καὶ διαφορὰς γινομένων, συγγινομένων, ἀπογινομένων. Ἐπινόει δὲ καὶ τὸν ὑπ' ἄλλων πάλαι βεβιωμένους βίους, τὸν μετὰ σὲ βιωθησόμενον, καὶ τὸν νῦν ἐν τοῖς βαρβάροις ἔθνεσι βιούμενον. καὶ ὅσοι μὲν οὐδὲ ὄνομά σου γινώσκουσιν, ὅσοι δὲ τάχιστα ἐπιλήσονται, ὅσοι δὲ ἐπαινοῦντές σου ἴσως νῦν σε τάχιστα ψέξουσι. καὶ ὡς οὔτε ἡ μνήμη ἀξιόλογός γε, οὔτε ἡ δόξα, οὔτε ἄλλο τι τὸ σύμπαν. ἀταραξία μὲν περὶ τὰ ἀπὸ τῆς ἐκτὸς αἰτίας συμβαίνοντα. δικαιότης δὲ ἐν τοῖς παρὰ τὴν ἐκ σοῦ αἰτίαν ἐνεργουμένοις. Τουτέστιν ὁρμὴ καὶ πρᾶξις, καταλήγουσα ἐπ' αὐτὸ τὸ κοινωνικῶς πρᾶξαι, ὡς τοῦτό σοι κατὰ φύσιν ὄν. πολλὰ περισσὰ περιελεῖν τῶν ἐνοχλούντων σοι δύνασαι, ὅλα ὄντα ἐπὶ τῇ ὑπολήψει σου κείμενα· καὶ πολλὴν εὐρυχωρίαν περιποιήσεις. ἤδη σεαυτῷ τὸν ὅλον κόσμον περιειληφέναι τῇ γνώμῃ, καὶ τὸν ἴδιον αἰῶνα περινοεῖν,

καὶ

καὶ τὴν τοῦ κατὰ μέρος ἑκάστου πράγματος τα-
χεῖαν μεταβολὴν ἐνθυμοῦντα. ὡς βραχὺ μὲν τὸ
ἀπὸ γενέσεως μέχρι διαλύσεως, ἀχανὲς δὲ τὸ
πρὸ τῆς γενέσεως, ὡς καὶ τὸ μετὰ τὴν διάλυσιν
ὁμοίως ἄπειρον.

Πάντα ὅσα ὁρᾷς τάχιστα φθαρήσεται, καὶ
οἱ φθειρόμενα αὐτὰ ἐπιδόντες τάχιστα, καὶ
αὐτοὶ φθαρήσονται. καὶ ὁ ἐσχατόγηρως ἀπο-
θανὼν εἰς ἴσον καταστήσεται τῷ προώρῳ. τί-
να τὰ ἡγεμονικὰ τούτων, καὶ περὶ οἷα ἐσπου-
δάκασι, καὶ δι' οἷα φιλοῦσι καὶ τιμῶσι. γυ-
μνὰ νόμιζε τὰ ψυχάρια αὐτῶν. ὅτε δοκοῦσι
βλάπτειν ψέγοντες, ἢ ὠφελεῖν ἐξυμνοῦντες, ὅση
οἴησις. ἡ ἀποβολὴ οὐδὲν ἄλλο ἐστὶν, ἢ μεταβολή,
τούτῳ δὲ χαίρει ἡ τῶν ὅλων φύσις, καθ' ἣν πάν-
τα καλῶς γίνεται. ἐξ αἰῶνος ὁμοειδῶς ἐγί-
νετο, καὶ εἰς ἄπειρον τοιαῦθ' ἕτερα ἔσται. τί οὖν
λέγεις ὅτι ἐγίνετό τε πάντα ὁ καὶ πάντα ἀεὶ
κακῶς ἔσται, καὶ οὐδεμία ἄρα δύναμις ἐν τοσού-
τοις θεοῖς ἐξευρέθη ποτὲ ἡ διορθώσουσα ταῦτα, ἀλ-
λὰ κατακέκριται ὁ κόσμος ἐν ἀδιαλείπτοις κακοῖς
συνέχεσθαι. Τὸ σαπρὸν τῆς ἑκάστῳ ὑποκειμένης ὕ-
λης, ὕδωρ, κόνις, ὀστάρια, γράσος ἢ πάλιν, πῶ-
ροι γῆς, τὰ μάρμαρα, καὶ ὑποστάθμαι, ὁ χρυσός,
ὁ ἄργυρος, καὶ τρίχια ἡ ἐσθής, καὶ αἷμα ἡ πορφύ-
ρα, καὶ τὰ ἄλλα πάντα τοιαῦτα. καὶ τὸ πνευ-

ματικὸν

ματικὸν δέ, ἄλλο τοιοῦτον. καὶ ἐκ τούτων εἰς
ταῦτα μεταβάλλον. ἅλις τοῦ ἀθλίου βίου, καὶ
γογγυσμοῦ, καὶ πιθηκισμοῦ. τί ταράσσῃ, τί
τούτων καινόν; τί σε ἐξίστησι; τὸ αἴτιον; ἴδε αὐ-
τό. ἀλλ' ἡ ὕλη; ἴδε αὐτήν. ἔξω δὲ τούτων οὐ-
δέν ἐστιν. ἀλλὰ καὶ πρὸς τοὺς θεοὺς ἤδη ποτὲ
ἁπλούστερος καὶ χρηστότερος γενοῦ. ἴσον δὲ
ἑκατὸν ἔτεσι, καὶ τὸ τρισὶ ταῦτα ἱστορῆσαι. εἰ
μὲν ἥμαρτεν, ἐκεῖ τὸ κακόν. τάχα δ' οὐχ ἥ-
μαρτεν. Ἤτοι ἀπὸ μιᾶς πηγῆς νοερᾶς πάντα
ὡς ἑνὶ σώματι ἐπισυμβαίνει καὶ οὐ δεῖ τὸ μέρος
τοῖς ὑπὲρ τοῦ ὅλου γινομένοις μέμφεσθαι. ἢ ἄ-
τομοι, καὶ οὐδὲν ἄλλο, ἢ κυκεὼν καὶ σκεδασμός.
τί οὖν ταράσσῃ; τῷ ἡγεμονικῷ λέγεις, τέθνηκας;
ἔφθαρσαι; ὑποκρίνῃ, συναγελάζῃ, βόσκῃ;
ἤτοι οὐδὲν δύνανται οἱ θεοὶ ἢ δύνανται. εἰ
μὲν οὖν μὴ δύνανται, τί εὔχῃ; εἰ δὲ δύνανται, διὰ
τί οὐχὶ μᾶλλον εὔχῃ, διδόναι αὐτοὺς, τὸ μήτε φο-
βεῖσθαί τι τούτων, μήτε ἐπιθυμεῖν τινὸς τούτων;
μήτε λυπεῖσθαι ἐπί τινι τούτων, μᾶλλον τῷ
μὴ παρεῖναι τι τούτων, ἢ τὸ παρεῖναι. πάντως
γὰρ εἰ δύνανται συνεργεῖν ἀνθρώποις, καὶ εἰς ταῦ-
τα δύνανται συνεργεῖν. ἀλλὰ ἴσως ἐρεῖς, ὅτι ἐπ'
ἐμοὶ αὐτὰ οἱ θεοὶ ἐποίησαν. εἶτα, οὐ κρεῖσσον
χρῆσθαι τοῖς ἐπὶ σοὶ μετ' ἐλευθερίας, ἢ διαφέ-
ρεσθαι πρὸς τὰ μὴ ἐπὶ σοὶ μετὰ δουλείας καὶ τα-

πεινότητος; τίς δέ σοι εἶπεν, ὅτι οὐχὶ καὶ εἰς τὰ ἐφ' ἡμῖν οἱ θεοὶ συλλαμβάνουσιν. ἄρξαι γοῦν περὶ τούτων εὔχεσθαι, καὶ ὄψει. οὗτος εὔχεται πῶς κοιμηθῶ μετ' ἐκείνης· σὺ πῶς μὴ ἐπιθυμήσω τοῦ κοιμηθῆναι μετ' ἐκείνης. ἄλλος, πῶς στερηθῶ ἐκείνου· σύ, πῶς μὴ χρήζω τοῦ στερηθῆναι. ἄλλος πῶς μὴ ἀποβάλω τὸ τεκνίον· σύ, πῶς μὴ φοβηθῶ ἀποβαλεῖν ὅλως ὧδε ἐπίστρεψον τὰς εὐχάς, καὶ θεώρει τί γίνεται.

Ὁ Ἐπίκουρος λέγει, ὅτι ἐν τῇ νόσῳ οὐκ ἦσάν μοι αἱ ὁμιλίαι περὶ τῶν τοῦ σωματίου παθῶν, οὐδὲ πρὸς τοὺς εἰσιόντας τοιαῦτά τινα φησὶν ἐλάλουν, ἀλλὰ τὰ προηγούμενα φυσιολογῶν διετέλουν, καὶ πρὸς αὐτῷ τούτῳ ὤν, πῶς ἡ διάνοια συμμεταλαμβάνουσα τῶν ἐν τῷ σαρκιδίῳ τοιούτων κινήσεων ἀταρακτεῖ, τὸ ἴδιον ἀγαθὸν τηροῦσα. οὐδὲ τοῖς ἰατροῖς ἐμπαρεῖχον φησὶ καταφρυάττεσθαι, ὥς τι ποιοῦσιν. ἀλλὰ ὁ βίος ἤγετο εὖ καὶ καλῶς. ταῦτα οὖν ἐκείνῳ ἐν νόσῳ ἐὰν νοσῇς, καὶ ἐν ἄλλῃ τινὶ περιστάσει. τὸ γὰρ μὴ ἀφίστασθαι φιλοσοφίας ἐν οἷς δήποτε τοῖς προσπίπτουσι, μηδὲ τῷ ἰδιώτῃ καὶ φυσιολόγῳ συμφλυαρεῖν, πάσης αἱρέσεως κοινόν. πρὸς μόνῳ τῷ νῦν πρασσομένῳ εἶναι, καὶ τῷ ὀργάνῳ δι' οὗ πράσσει. Ὅταν τινὸς ἀναισχυντίᾳ προσκόπτῃς, εὐθὺς πυνθάνου σεαυτοῦ· δύνανται οὖν ἐν τῷ

κόσμῳ

κόσμῳ ἀναισχύντους μὴ εἶναι; οὐ δύναται. μὴ οὖν ἀπαίτει τὸ ἀδύνατον. εἷς γὰρ καὶ οὗτος ἐστὶν ἐκείνων τῶν ἀναισχύντων, οὓς ἀνάγκη ἐν τῷ κόσμῳ. εἶναι τὸ δ' αὐτὸ καὶ ἐπὶ τοῦ πανούργου, καὶ ἐπὶ τοῦ ἀπίστου, καὶ παντὸς τοῦ ὁπωσοῦν ἁμαρτάνοντος, ἔστω σοι πρόχειρον. ἅμα γὰρ τῷ ὑπομνησθῆναι ὅτι τὸ γένος τῶν τοιούτων ἀδύνατόν ἐστι μὴ ὑπάρχειν, εὐμενέστερος ἔσῃ πρὸς τοὺς καθ' ἕνα. Εὔχρηστον δὲ κἀκεῖνο εὐθὺς ἐννοεῖν, τίνα ἔδωκεν ἡ φύσις τῷ ἀνθρώπῳ ἀρετὴν πρὸς τοῦτο τὸ ἁμάρτημα. ἔδωκε γὰρ, ὡς ἀντιφάρμακον, πρὸς μὲν τὸν ἀγνώμονα τὴν πραότητα, πρὸς δὲ ἄλλον, ἄλλην τινὰ δύναμιν. ὅλως δὲ ἔξεστί σοι μεταδιδάσκειν τὸν πεπλανημένον. πᾶς δὲ ὁ ἁμαρτάνων, ἀφαμαρτάνει τοῦ προκειμένου, καὶ πεπλάνηται. τί δὲ καὶ βέβλαψαι; εὑρήσεις γὰρ μηδένα τούτων πρὸς οὓς προξύνῃ πεποιηκότα τι τοιοῦτον, ἐξ οὗ ἡ διάνοιά σου χείρων ἔμελλε γενήσεσθαι. τὸ δὲ κακόν σου καὶ τὸ βλαβερὸν, ἐνταῦθα πᾶσαν τὴν ὑπόστασιν ἔχει. τί δὲ κακὸν ἢ ξένον γέγονεν, εἰ ὁ ἀπαίδευτος τὰ τοῦ ἀπαιδεύτου πράσσει. ὅρα μὴ σαυτῷ μᾶλλον ἐγκαλεῖν ὀφείλῃς, ὅτι οὐ προσεδόκησας τοῦτον τοῦτο ἁμαρτήσεσθαι. σὺ μὲν γὰρ καὶ ἀφορμὰς ἐκ τοῦ λόγου εἶχες πρὸς τὸ ἐνθυμηθῆναι ὅτι εἰκός ἐστι τοῦτον τοῦτο ἁμαρτήσεσθαι. καὶ ὅμως ἐπιλα-

ἀφορμὴν θαυμάζεις εἰ ἡμάρτηκε. Μάλιστα δὲ ὅταν ὡς ἀπίστῳ, ἢ ἀχαρίστῳ μέμφῃ, εἰς ἑαυτὸν ἐπιστρέφου. προδήλως γὰρ σὸν τὸ ἁμάρτημα, εἴτε περὶ τοῦ τοιαύτην τὴν διάθεσιν ἔχοντος ἐπίστευσας, ὅτι τὴν πίστιν φυλάξει, εἴτε τὴν χάριν διδοὺς, μὴ καταληκτικῶς ἔδωκας, μηδὲ ὥστε ἐξ αὐτῆς τῆς πράξεως εὐθὺς ἀπειληφέναι πάντα τὸν καρπόν. τί ἔτι πλέον θέλεις εὖ ποιήσας ἄνθρωπον; οὐκ ἀρκεῖ σοι; κατὰ φύσιν τὴν σήν τι ἔπραξας, τούτου μισθὸν ζητεῖς; ὡς εἰ ὁ ὀφθαλμὸς ἀμοιβὴν ἀπῄτει, ὅτι βλέπει, ἢ οἱ πόδες, ὅτι βαδίζουσιν. ὥσπερ γὰρ ταῦτα πρός τόδε τι γέγονεν, ἅπερ κατὰ τὴν ἰδίαν κατασκευὴν ἐνεργοῦντα ἀπέχει τὸ ἴδιον· οὕτως καὶ ὁ ἄνθρωπος εὐεργετικὸς πεφυκὼς, ὁπόταν τι εὐεργετικὸν, ἢ ἄλλως εἰς τὰ μέσα συνεργητικὸν πράξῃ, πεποίηκε πρὸς ὃ κατεσκεύασται, καὶ ἔχει τὸ ἑαυτοῦ.

ΜΆΡ-